Δ' Χαιρετισμοί



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/188/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: 27/3/2011 4:08:00 πμ
Δημιουργία εγγράφου: 08/11/2026 18:23:14

Σύνοψη

Τύπος εορτής: Εορτάζει 23 ημέρες πριν το Άγιο Πάσχα.

Ημ/νια Βίου: 27/3/2011 4:08:00 πμ

Βιογραφία

Πληροφορίες για τον Ακάθιστο Ύμνο βλέπε εδώ.

Ακάθιστος Ύμνος - Δ' Στάσις

Τεῖχος εἶ τῶν παρθένων,

Θεοτόκε Παρθένε,

καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων.

Ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς,

κατεσκεύασέ σε ποιητής, Ἄχραντε,

οἰκήσας ἐν τῇ μήτρα σου,

καὶ πάντας σοι προσφωνεῖν διδάξας·

Χαῖρε, ἡ στήλη τῆς παρθενίας,

χαῖρε, ἡ πύλη τῆς σωτήριας.

Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως,

χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος.

Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς,

χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.

Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα,

χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.

Χαῖρε, παστάς ἀσπόρου νυμφεύσεως,

χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα.

Χαῖρε, καλὴ κουροτρόφε παρθένων,

χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἠττᾶται,

συνεκτείνεσθαι σπεύδων,

τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου·

ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ὠδάς,

ἂν προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε,

οὐδὲν τελοῦμεν ἄξιον,

ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν·

Ἀλληλούια.

Φωτοδόχον λαμπάδα,

τοῖς ἐν σκότει φανεῖσαν,

ὁρῶμεν τὴν ἁγίαν Παρθένον·

τὸ γὰρ ἄυλον ἅπτουσα φῶς,

ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας,

αὐγῇ τὸν νοῦν φωτίζουσα,

κραυγῇ δὲ τιμωμένη ταῦτα·

Χαῖρε, ἀκτὶς νοητοῦ ἡλίου,

χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.

Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα,

χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.

Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν,

Χαῖρε, ὅτι τὸν πολύρρυτον ἀναβλύζεις ποταμόν.

Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον,

χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ρύπον.

Χαῖρε, λουτὴρ ἔκπλυνων συνείδησιν,

χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.

Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας,

χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας,

ὀφλημάτων ἀρχαίων,

ὁ πάντων χρεωλύτης ἀνθρώπων,

ἐπεδήμησε δι’ἑαυτοῦ,

πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ Χάριτος·

καὶ σχίσας τὸ χειρόγραφον,

ἀκούει παρὰ πάντων οὕτως·

Ἀλληλούια.

Ψάλλοντές σου τὸν τόκον,

ἀνυμνοῦμέν σε πάντες,

ὡς ἔμψυχον ναόν, Θεοτόκε.

Ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρί,

ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος,

ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοὶ πάντας·

Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου,

χαῖρε, Ἁγία ἁγίων μείζων.

Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι,

χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.

Χαῖρε, τίμιον διάδημα βασιλέων εὐσεβῶν,

χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν.

Χαῖρε, τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος,

χαῖρε, τῆς Βασιλείας τὸ ἀπόρθητον τεῖχος.

Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια,

χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι.

Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία,

χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ,

ἡ τεκοῦσα τὸν πάντων ἁγίων,

ἁγιώτατον Λόγον·

δεξαμένη γὰρ τὴν νῦν προσφοράν,

ἀπὸ πάσης ρῦσαι συμφορᾶς ἅπαντας,

καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως,

τοὺς σοὶ βοῶντας·

Ἀλληλούια.

Αγιογραφίες / Φωτογραφίες



Σῶσαι θέλων τὸν κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ.... / Τεῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε....



Ὕμνος ἅπας ἡττᾶται.... / Φωτοδόχον λαμπάδα τοῖς ἐν σκότει φανεῖσαν....



Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων....



Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες....



Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων ἁγίων ἁγιώτατον Λόγον....



Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου....



Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι....

Σχετικές συνδέσεις

1. Α' Χαιρετισμοί
2. Β' Χαιρετισμοί
3. Γ' Χαιρετισμοί
4. Ακάθιστος Ύμνος

Παραπομπές

1. ΜΥΡΙΟΒΙΒΛΟΣ